συνάντημα ἓν αὐτοῖς·
ὡς ὁ θάνατος τούτου, οὕτως ὁ θάνατος τούτου,
καὶ πνεῦμα ἓν τοῖς πᾶσιν·
καὶ τί ἐπερίσσευσεν ὁ ἄνθρωπος παρὰ τὸ κτῆνος;
οὐδέν, ὅτι τὰ πάντα ματαιότης.
20 τὰ πάντα πορεύεται εἰς τόπον ἕνα·
τὰ πάντα ἐγένετο ἀπὸ τοῦ χοός,
καὶ τὰ πάντα ἐπιστρέφει εἰς τὸν χοῦν·
21 καὶ τίς οἶδεν πνεῦμα υἱῶν τοῦ ἀνθρώπου
εἰ ἀναβαίνει αὐτὸ εἰς ἄνω,
καὶ πνεῦμα τοῦ κτήνους
εἰ καταβαίνει αὐτὸ κάτω εἰς γῆν;
22 καὶ εἶδον ὅτι οὐκ ἔστιν ἀγαθὸν
εἰ μὴ ὃ εὐφρανθήσεται ὁ ἄνθρωπος
ἐν ποιήμασιν αὐτοῦ, ὅτι αὐτὸ μερὶς αὐτοῦ·
ὅτι τίς ἄξει αὐτὸν τοῦ ἰδεῖν ἐν ᾧ ἐὰν γένηται μετ᾽ αὐτόν;
4 1 Καὶ ἐπέστρεψα ἐγὼ καὶ εἶδον
σὺν πάσας τὰς συκοφαντίας
τὰς γινομένας ὑπὸ τὸν ἥλιον·
καὶ ἰδοὺ δάκρυον τῶν συκοφαντουμένων,
καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν,
καὶ ἀπὸ χειρὸς συκοφαντούντων αὐτοὺς ἰσχύς,
καὶ οὐκ ἔστιν αὐτοῖς παρακαλῶν.
2 καὶ ἐπῄνεσα ἐγὼ σὺν τοὺς τεθνηκότας
τοὺς ἤδη ἀποθανόντας ὑπὲρ τοὺς ζῶντας,
ὅσοι αὐτοὶ ζῶσιν ἕως τοῦ νῦν·
3 καὶ ἀγαθὸς ὑπὲρ τοὺς δύο τούτους
ὅστις οὔπω ἐγένετο,
ὃς οὐκ εἶδεν σὺν τὸ ποίημα τὸ πονηρὸν
τὸ πεποιημένον ὑπὸ τὸν ἥλιον.
4 Καὶ εἶδον ἐγὼ σὺν πάντα τὸν μόχθον
καὶ σὺν πᾶσαν ἀνδρείαν τοῦ ποιήματος,
ὅτι αὐτὸ ζῆλος ἀνδρὸς ἀπὸ τοῦ ἑταίρου αὐτοῦ·
καί γε τοῦτο ματαιότης καὶ προαίρεσις πνεύματος.

$19^3$ αυτοις] pr. τοις πασιν S^cV† | $19^4$ ουτως] + και S | $19^5$ τοις] αυτοις S*† | $19^6$ τι — ανθρ.] τις περισσεια τω ανθρωπω S^cV† | $19^7$ τα > BS || $20^1$ πορ. > BS* | $20^3$ επιστρεψει B || $21^1$ πνευμα] pr. το AS^c | $21^3$ πνευμα] pr. το S | $21^4$ γην BS†] pr. την rel. || $22^2$ ο 2^0 B†] > rel.

4 $1^2$ συν πασας] συμπ. B, συν > S: cf. 1 14 | $1^3$ γενομενας S*A | $1^4$ και > B† | $1^6$ ισχυς] -υν BS*†, ισχυ(sic) ουκ εστιν S^c†, ουκ εστιν ισχυς αυτοις V† | $1^7$ παρακ.] pr. ο SA || $2^1$ συν (cf. 2 12)] συμπαντας B: cf. 3 || 3 > S*† | $3^3$ συν] + παν B: cf. 2 || $4^1$ συμπαντα BA et $4^2$ συμπασαν B: cf. 1 14 | $4^3$ αυτο] το B*S | ανδρι B